www.tezaurliturgic.ro

## *Εἰς τοὺς Ἁγίους ἐνδόξους τρεῖς Μεγαλομάρτυρας ΜΗΝΑΝ τὸν Αἰγύπτιον, ΒΙΚΤΩΡΑ τὸν γενναῖον καὶ ΒΙΚΕΝΤΙΟΝ τὸν Διάκονον. Οἶκοι ΚΔ' κατ' ἀλφάβητον.*

Κοντάκιον. Ἦχος πλ. δ'. Τῇ ὑπερμάχῳ.

Τοὺς τρεῖς ἐνδόξους τοῦ Χριστοῦ Μεγαλομάρτυρας, ἀνευφημοῦμεν οἱ πιστοὶ καὶ πόθῳ μέλπομεν, Ἀθλοφόρους εὐκλεεῖς καὶ θεολαμπτῆρας, τὸν Μηνᾶν φημὶ τὸν ἔνδοξον καὶ Βίκτωρα, τὸν γενναῖον καὶ τὸν πάνσεπτον Βικέντιον, τούτοις κράζοντες· Χριστομάρτυρες χαίρετε.

Οἱ Οἶκοι πρὸς τὸ Ἄγγελος πρωτοστάτης.

Ἄγγελος οὐρανόφρων, ζῶν ἐν κόσμῳ ἐφάνης, Μηνᾶ Μεγαλομάρτυς Κυρίου. (γ') Τὴν ζωήν σου γὰρ ὅλην Θεῷ ἀναθέμενος, χάριν σοφὲ εὕρηκας ἀσκήσει λαμπρυνόμενος, διὸ ἀκούεις.

Χαῖρε Μαρτύρων Χριστοῦ ἡ δόξα.  
Χαῖρε Ὁσίων Μηνᾶ τὸ κλέος,  
Χαῖρε τῶν Ἀγγέλων ὡς ὢν ἰσοστάσιος  
Χαῖρε Ἀποστόλων ὑπάρχων ὁμόσκηνος  
Χαῖρε Μάρτυς εὐκλεέστατε ὁ κηρύξας τὸν Χριστὸν  
Χαῖρε κῆρυξ διαπρύσιε τῆς θεότητος αὐτοῦ  
Χαῖρε ὁ ἀφανίσας τῶν δαιμόνων τὴν πλάνην  
Χαῖρε ὁ καταλύσας τὴν εἰδώλων θρησκείαν  
Χαῖρε πιστῶν φωστὴρ παμφαέστατε,  
Χαῖρε ψυχὰς φωτίζων τῇ χάριτι,  
Χαῖρε δι' οὗ Χριστὸς προσκυνεῖται·  
Χαῖρε δι' οὗ ὁ σατὰν καταργεῖται.

*Χαῖρε Μάρτυς καλλίνικε*

Βέλει τῷ γλυκυτάτῳ τοῦ Χριστοῦ τῆς ἀγάπης, τρωθεὶς τὴν σὴν καρδίαν θεόφρον, καὶ τῷ ἔρωτι αὐτοῦ φλεχθεὶς καὶ εἰς ὄρη διαπτὰς χρυσαῖς πτέρυξιν, ἐλάτρευσας τῷ Κτίστῃ σου ὁσίως ἀναμέλπων.

*Ἀλληλούϊα*

Γέγονας ἐν μεθέξει τοῦ φωτὸς τοῦ ἀδύτου ἀσκήσει καὶ σεμνῇ πολιτείᾳ· ἐλλαμφθεὶς δὲ ψυχὴν καὶ νοῦν Ἅγιε, πρὸς ἄθλησιν χωρεῖς ἄριστα, καὶ στέφος εἴληφας τοῦ μαρτυρίου, διὸ σοὶ βοῶμεν.

www.tezaurliturgic.ro



Χαῖρε Αἰγύπτου ὁ ἐκβλαστήσας
Χαῖρε Ἑώαν κατακοσμήσας
Χαῖρε εὐσεβῶν τῶν τιμώντων σε καύχημα.
Χαῖρε τῶν πιστῶν τὸ σεπτὸν ἀγαλλίαμα,
Χαῖρε, ὅτι ἀνεκήρυξας ἐν σταδίῳ τὸν Χριστὸν
Χαῖρε, ὅτι κατεπάτησας τῶν δαιμόνων τὴν ὀφρύν,
Χαῖρε ὁ διαλάμψας ἐν ἀσκήσει ὁσίως
Χαῖρε ὁ ἀριστεύσας ἐν ἀθλήσει ἐνδόξως.
Χαῖρε τῆς σῆς πατρίδος τὸ σέμνωμα,
Χαῖρε λαοῦ εὐσεβοῦς μελῴδημα,
Χαῖρε Μηνᾶ Ἐκκλησίας λαμπρότης
Χαῖρε Μαρτύρων Χριστοῦ ἡ φαιδρότης.

*Χαῖρε Μάρτυς πανένδοξε.*

Δόξαν τοῦ κόσμου πᾶσαν, εἰς οὐδὲν ἐλογίσω, Χριστὸς δὲ ἐν σοὶ ἔζη καὶ σὺ ἔζης ἐν Χριστῷ, ἀθλοφόρε Μηνᾶ, καὶ οὐδὲν χωρίσαι ἴσχυσε τῆς ἀγάπης αὐτοῦ ἔνδοξε· διὸ τεμνόμενος τὴν κάραν ὕμνεις.

*Ἀλληλούϊα*

Ἔχων ἐν σοὶ τρισμάκαρ τὸν Χριστὸν ἐνοικοῦντα, καλῶς ἐνεκαρτέρεις τοῖς ἄθλοις, μιμητής τε αὐτοῦ τῶν παθῶν γεγονὼς μετέσχες τῆς αὐτοῦ χάριτος, καὶ στέφανον δεξάμενος παρ᾽ αὐτοῦ ἀκούεις.

Χαῖρε Χριστοῦ στεῤῥὸς ὁπλίτης
Χαῖρε εἰδώλων ὁ καταλύτης.
Χαῖρε τῆς Τριάδος ὁ κήρυξ ὁ ἔνθεος
Χαῖρε εὐσεβείας, σοφέ, πύργος ἄσειστος·
Χαῖρε Μάρτυς δαπανώμενος τὰς σάρκας σου διὰ Χριστόν,
Χαῖρε ῥάκος τριβόμενος τοῖς τυράννοις ἀφειδῶς.
Χαῖρε αὖθις τριβόλοις ἐκκεντούμενος Μάρτυς
Χαῖρε λαβὼν τὸ στέφος ὡς νομίμως ἀθλήσας,
Χαῖρε Μηνᾶ Χριστοῦ δόξης μέτοχε,
Χαῖρε κλεινῶν Μαρτύρων ἀγλάϊσμα,
Χαῖρε Χριστοῦ ὁ λαμπρότατος κήρυξ,
Χαῖρε σοφὲ τῶν δαιμόνων ἡ πτῶσις.

*Χαῖρε Μάρτυς μακάριε*

Ζήλου πεπληρωμένος τοῦ Χριστοῦ τῆς ἀγάπης σὴν κάραν ὑπὲρ τούτου ἐτμήθης, καὶ στεφάνῳ δόξης κοσμηθείς, τῷ Δεσπότῃ καὶ παμβασιλεῖ παρίστασαι, πρεσβεύων ὑπὲρ τῶν βοώντων μετὰ πόθου.

*Ἀλληλούϊα*

www.tezaurliturgic.ro



Χαῖρε Αἰγύπτου ὁ ἐκβλαστήσας
Χαῖρε Ἑῴαν κατακοσμήσας
Χαῖρε εὐσεβῶν τῶν τιμώντων σε καύχημα.
Χαῖρε τῶν πιστῶν τὸ σεπτὸν ἀγαλλίαμα,
Χαῖρε, ὅτι ἀνεκήρυξας ἐν σταδίῳ τὸν Χριστὸν
Χαῖρε, ὅτι κατεπάτησας τῶν δαιμόνων τὴν ὀφρύν,
Χαῖρε ὁ διαλάμψας ἐν ἀσκήσει ὁσίως
Χαῖρε ὁ ἀριστεύσας ἐν ἀθλήσει ἐνδόξως.
Χαῖρε τῆς σῆς πατρίδος τὸ σέμνωμα,
Χαῖρε λαοῦ εὐσεβοῦς μελῴδημα,
Χαῖρε Μηνᾶ Ἐκκλησίας λαμπρότης
Χαῖρε Μαρτύρων Χριστοῦ ἡ φαιδρότης.

*Χαῖρε Μάρτυς πανένδοξε.*

Δόξαν τοῦ κόσμου πᾶσαν, εἰς οὐδὲν ἐλογίσω, Χριστὸς δὲ ἐν σοὶ ἔζη καὶ σὺ ἔζης ἐν Χριστῷ, ἀθλοφόρε Μηνᾶ, καὶ οὐδὲν χωρίσαι ἴσχυσε τῆς ἀγάπης αὐτοῦ ἔνδοξε· διὸ τεμνόμενος τὴν κάραν ὕμνεις.

*Ἀλληλούϊα*

Ἔχων ἐν σοὶ τρισμάκαρ τὸν Χριστὸν ἐνοικοῦντα, καλῶς ἐνεκαρτέρεις τοῖς ἄθλοις, μιμητής τε αὐτοῦ τῶν παθῶν γεγονὼς μετέσχες τῆς αὐτοῦ χάριτος, καὶ στέφανον δεξάμενος παρ' αὐτοῦ ἀκούεις.

Χαῖρε Χριστοῦ στερρὸς ὁπλίτης
Χαῖρε εἰδώλων ὁ καταλύτης.
Χαῖρε τῆς Τριάδος ὁ κήρυξ ὁ ἔνθεος
Χαῖρε εὐσεβείας, σοφέ, πύργος ἄσειστος·
Χαῖρε Μάρτυς δαπανώμενος τὰς σάρκας σου διὰ Χριστόν,
Χαῖρε ῥάκος τριβόμενος τοῖς τυράννοις ἀφειδῶς.
Χαῖρε αὖθις τριβόλοις ἐκκεντούμενος Μάρτυς
Χαῖρε λαβὼν τὸ στέφος ὡς νομίμως ἀθλήσας,
Χαῖρε Μηνᾶ Χριστοῦ δόξης μέτοχε,
Χαῖρε κλεινῶν Μαρτύρων ἀγλάϊσμα,
Χαῖρε Χριστοῦ ὁ λαμπρότατος κήρυξ,
Χαῖρε σοφὲ τῶν δαιμόνων ἡ πτῶσις.

*Χαῖρε Μάρτυς μακάριε*

Ζήλου πεπληρωμένος τοῦ Χριστοῦ τῆς ἀγάπης σὴν κάραν ὑπὲρ τούτου ἐτμήθης, καὶ στεφάνῳ δόξης κοσμηθείς, τῷ Δεσπότῃ καὶ παμβασιλεῖ παρίστασαι, πρεσβεύων ὑπὲρ τῶν βοώντων μετὰ πόθου.

*Ἀλληλούϊα*

www.tezaurliturgic.ro



Ἤστραψαν ἐν τῷ κόσμῳ μαρτυρίου τῇ αἴγλῃ Μηνᾶς σὺν Βικεντίῳ καὶ Βίκτωρ. Τῆς Τριάδος τρεῖς ἀθλοφόροι, οἰκουμένην ἅπασαν καταυγάζοντες, τάς τε ψυχὰς φωτίζοντες τῶν πίστει μελῳδούντων.

Χαίρετε κήρυκες τῆς Τριάδος
Χαίρετε Μάρτυρες τῆς Μονάδος,
Χαίρετε, Μηνᾶ Βίκτωρ καὶ Βικέντιε,
Χαίρετε Μάρτυρες τοῦ Χριστοῦ ἀξιάγαστοι
Χαίροις Μάρτυς παμμακάριστε καὶ τρισόλβιε Μηνᾶ
Χαῖρε Βίκτωρ γεραιρόμενος σὺν Μηνᾶ τῷ θαυμαστῷ.
Χαῖρε θεῖε λευῖτα, ὦ Βικέντιε Μάρτυς.
Χαίρετε Ἀθλοφόροι δοξαζόμενοι σύντρεις·
Χαίρετε τῆς Τριάδος οἱ πρόβολοι
Χαίρετε τρεῖς ἡμῶν προστατεύοντες
Χαίρετε πάντων τῶν πιστῶν οἱ προστάται
Χαίρετε λόγου κλεινοὶ παραστάται.

*Χριστοκήρυκες χαίρετε.*

Θαύμασιν ὑπερφώτοις ὑπερλάμπουσιν ὄντως Μηνᾶς σὺν Βικεντίῳ καὶ Βίκτωρ, Μάρτυρες Χριστοῦ πανευκλεεῖς, ὧν ἡμεῖς τῇ χάριτι ἐλλαμπόμενοι, δοξάζομεν, γεραίρομεν καὶ ὕμνον τῷ Θεῷ βοῶμεν

*Ἀλληλούϊα*

Ἴδεν ὁ δολομήτης σὲ Χριστοῦ τὸν ὁπλίτην, καὶ ἔφριξεν ἰσχύν σου τὴν θείαν, ὀπτανόμενον τῷ πανδοχεῖ, ἔκδικον τοῦ σοῦ προσκυνητοῦ, ἄμφω δὲ ἐγείραντα εἰς δόξαν σου, καὶ ὕμνον σοι βοῶντας

Χαῖρε ἀθῴου ἔκδικος πέλων
Χαῖρε βεβήλων ἀνόμων ἔλεγχος θεῖος·
Χαῖρε φονευθέντος πιστοῦ ἡ ἀνάστασις.
Χαῖρε ἀνδροφόνου τελεία κατάπληξις
Χαῖρε, ὅτι τὸν τιμῶντα σε φονευθέντα ἀνιστᾷς
Χαῖρε, ὅτι τὸν φονεύσαντα διελέγχων φανεροῖς
Χαῖρε τὸν δολοφόνον εἰς μετάνοιαν ἄγων
Χαῖρε, ὅτι τοὺς ἄμφω εἰς σὴν δόξαν ἐγείρεις
Χαῖρε πιστῶν ἑτοίμη βοήθεια
Χαῖρε βουλῶν κακούργων κατάργησις
Χαῖρε πιστῶν τὸ διάσωσμα Μάρτυς
Χαῖρε κακῶν βουλευμάτων ὁ πλήκτης.

*Χαῖρε Μάρτυς πανθαύμαστε*

www.tezaurliturgic.ro



Κήρυκες τῶν θαυμάτων σου γεγόνασι, Μάρτυς, ἀμφότεροι παθὼν τε καὶ δράστης, ὁ μὲν ἐκ νεκρῶν ἀναστηθείς, ὁ δὲ καταπλαγεὶς ἐπὶ τῷ θαύματι· καὶ ἄμφω σοι προσᾴδοντες εὐχαριστήρια βοῶσιν

*Ἀλληλούϊα*

Λόγος τὶς ἐξαρκέσει τοῦ ὑμνεῖν σε ἀξίως ἢ φράσαι τῶν θαυμάτων τὰ πλήθη; Ὑπὲρ γὰρ τὴν ψάμμον ὀληθῶς καὶ ὑπὲρ τῶν ἄστρων ἀριθμὸν πεπλήθυνται, ἀλλ᾽ οὖν ἡμεῖς τῷ πόθῳ ὁρμώμενοι, ἀναβοῶμεν·

Χαῖρε θαυμάτων πληθὺν τελέσας·
Χαῖρε τεράστια αὐτουργήσας,
Χαῖρε θαυμαστῶς νουθετῶν τοὺς προσπταίοντας,
Χαῖρε διορθῶν τοὺς εἰς σὲ ἁμαρτήσαντας·
Χαῖρε, Μάρτυς, ὅτι ἥρπασας τὸν πεσόντα ἐκ βυθοῦ
Χαῖρε, ὅτι τοῦτον ἔσωσας ἐκ θανάτου τοῦ πικροῦ
Χαῖρε τὴν βασκανίαν τῶν φιλαύτων παιδεύσας
Χαῖρε μετανοοῦσι συμπαθῶς συγχωρήσας,
Χαῖρε πιστὸν ἐλέγξας ἐπίορκον
Χαῖρε πολλοὺς διδάξας μετάνοιαν·
Χαῖρε Μηνᾶ παιδευτὰ τῶν ἀνόμων
Χαῖρε πολλῶν λυτρωτὰ καὶ προστάτα.

*Χαῖρε Μάρτυς πανένδοξε.*

Μαινομένης τῆς πλάνης κατὰ τῆς εὐσεβείας ὁ Μάρτυς ἐν σταδίῳ προσῆλθε· καὶ ὡς ἥλιος λάμψας φαιδρὸς τῶν εἰδώλων πᾶσαν τὴν ἀχλὺν ἔλυσε, τὸν ἄρχοντα τοῦ σκότους τροπωσάμενος καὶ ὕμνον μέλπων.

*Ἀλληλούϊα*

Νεανίαι τῷ εἴδει, πολιοὶ τῇ φρονήσει, ὡς γίγαντες ὀφθέντες ἀνδρεῖοι, τοῖς τυράννοις σεπτοὶ ἀθληταί, εὐθαρσῶς Θεὸν τὸν Χριστὸν ἐκήρυξαν ὁ Μηνᾶς, ὁ Βίκτωρ καὶ ὁ Βικέντιος πρὸς οὓς ἡμεῖς βοῶμεν.

Χαίρετε κήρυκες εὐσεβείας
Χαίρετε ἔνδοξοι ἀθλοφόροι
Χαίρετε Χριστὸν ἐν σταδίῳ κηρύξαντες
Χαίρετε καλῶς τὸν ἀγῶνα τελέσαντες.
Χαῖρε Βίκτωρ γενναιότατε τὸν ἐχθρὸν καταβαλὼν
Χαῖρε ἔνδοξε Βικέντιε τροπωσάμενος αὐτόν·
Χαῖρε, ὅτι βασάνων κατετόλμησας Βίκτωρ,
Χαῖρε λαβὼν στέφος, ὦ Βικέντιε μάκαρ

www.tezaurliturgic.ro



Χαίρετε οὖν πανθαύμαστοι Μάρτυρες
Χαίρετε οὖν φωστῆρες ὑπέρλαμπροι
Χαίρετε ἄνθη νοητοῦ παραδείσου
Χαίρετε δόξης τοῦ Χριστοῦ κληρονόμοι.

*Χριστομάρτυρες χαίρετε.*

Ξενοτρόπως τοὺς ἄθλους ἠγωνίσαντο ὄντως οἱ Μάρτυρες Χριστοῦ οἱ γενναῖοι· ὅτι σώματι θνητῷ οἱ εὐκλεεῖς τὸν ἀσώματον ἐχθρὸν κατεπάλαισαν σαρκὶ προσομιλοῦντες ταῖς βασάνοις καὶ βοῶντες.

*Ἀλληλούϊα*

Ὅλος χάριτος πλήρης καὶ σοφίας ὑπάρχων ὁ Μάρτυς τῷ τυράννῳ παρέστη, τὸν Χριστὸν Θεὸν ὁμολογῶν, τὰ δὲ εἴδωλα ἐκμυκτηρίζων διὸ ἄθλων ἐκτέμνεται τὴν κάραν, ὅθεν νῦν ἀκούει:

Χαῖρε Ἁγίων Μαρτύρων θαῦμα
Χαῖρε δαιμόνων καίριον τραῦμα,
Χαῖρε Ἐκκλησίας ἁπάσης τὸ καύχημα
Χαῖρε τῶν τιμώντων σε θεῖον ἐντρύφημα,
Χαῖρε τοῦ Θεοῦ τῆς πόλεως λίθε τίμιε Μηνᾶ
Χαῖρε ἄνθος εὐωδέστατον Παραδείσου νοητοῦ
Χαῖρε Κοτυαείου πολιοῦχος ὁ μέγας
Χαῖρε ἡ σωτηρία τῶν εἰς σὲ προστρεχόντων
Χαῖρε παντοίων νόσων ἡ ἴασις
Χαῖρε πιστῶν τερπνὸν ἀγαλλίαμα
Χαῖρε παθῶν ἀνιάτων ἀκέστωρ
Χαῖρε ἡμῶν ὁ προστάτης καὶ φύλαξ.

*Χαῖρε Μάρτυς πανεύφημε*

Πᾶσα ἡ Ἐκκλησία τοῦ Χριστοῦ ἡ ἁγία, αὐχεῖ ἀγαλλομένη καὶ χαίρει, ἀξιάγαστε Μάρτυς Μηνᾶ ἐπὶ σοῖς ἐνδόξοις κατορθώμασι· διὸ πανηγυρίζουσα τὴν μακαρίαν ἄθλησίν σου ψάλλει

*Ἀλληλούϊα*

Ῥήτορας θεοπνεύστους καὶ κλεινοὺς Θεολόγους, πλουτεῖ ἡ τοῦ Χριστοῦ Ἐκκλησία, τοὺς γενναίους τρισσοὺς ἀθλητὰς τὸν Μηνᾶν καὶ Βίκτωρα καὶ Βικέντιον, Χριστὸν ὁμολογήσαντας θεάνθρωπον οὓς προσφωνοῦμεν·

Χαίρετε μύσται τῆς εὐσεβείας
Χαίρετε ἔλεγχοι ἀσεβείας.
Χαίρετε Ἁγίας Τριάδος ὑπέρμαχοι,
Χαίρετε δεινοὶ τῶν δαιμόνων κατήγοροι,
Χαίρετε Χριστοῦ πανθαύμαστοι στεφηφόροι ἀθληταὶ

www.tezaurliturgic.ro



Χαίρετε εἰδώλων κράτιστοι τροπαιοῦχοι νικηταὶ
Χαίρετε Χριστοφόροι κήρυκες ἀληθείας
Χαίρετε κληρονόμοι οὐρανῶν Βασιλείας·
Χαίρετε νίκης ἄραντες τρόπαια
Χαίρετε Μάρτυρες θεοδόξαστοι
Χαίρετε κόσμου παντὸς οἱ προστάται
Χαίρετε πάντων κακῶν οἱ διῶκται.

*Χριστομάρτυρες χαίρετε*

Σωτηρία τῷ κόσμῳ, ἐκ Θεοῦ πρυτανεῦσαι, ὑμῶν ταῖς εὐπροσδέκτοις, πρεσβείαις, δυσωποῦμεν ὑμᾶς ἐκτενῶς, ὦ Τριὰς Μαρτύρων, μέγιστοι Μάρτυρες ἀμέσως παριστάμενοι τῷ Κτίστῃ ψάλλοντες ᾠδὴν τὸ

*Ἀλληλούϊα*

Τίνες οὗτοι οἱ οὕτως ὑπερλάμποντες μέγα ἐν ταῖς Ἀθλοφόρων χορείαις· Μάρτυρες οἱ τρεῖς θεοφεγγεῖς ὡς φωστῆρες τὸν κόσμον καταυγάζοντες τῶν ἄθλων καὶ θαυμάτων ἀστραπαῖς καὶ λάμψεσι οἷς βοῶμεν.

Χαίρετε φῶς τὸ τρισσῶς αὐγάζον
Χαίρετε φῶς τρισάκτινον θεῖον
Χαίρετε πιστῶν τὰς καρδίας φαιδρύνοντες
Χαίρετε ψυχὰς νοητῶς καταυγάζοντες
Χαίρετε φῶς χρηματίζοντες τῆς Τριάδος τῷ φωτὶ
Χαίρετε φῶς ἀπαστράπτοντες ἐκ φωτὸς θεαρχικοῦ
Χαίρετε μαρτυρίου τῷ φωτὶ λαμπρυνθέντες
Χαίρετε τῷ ἀΰλῳ νῦν φωτὶ ἑνωθέντες
Χαίρετε λαμπὰς Μαρτύρων ἡ τρίφωτος
Χαίρετε Τριὰς Ἁγίων ὁλόφωτος
Χαίρετε, ὅτι τὸ σκότος ἠλάθη
Χαίρετε ὅτι τὸ φῶς διαλάμπει.

*Χριστομάρτυρες χαίρετε*

Ὕμνοις ἐν θεηγόροις, ἡ σεπτὴ Ἐκκλησία γεραίρει Μαρτύρων τὴν μνήμην· καὶ φαιδρύνεται τῇ δόξῃ αὐτῶν ὑπερφέρουσα τῇ πίστει καὶ χάριτι καὶ τῶν Ἀγγέλων γέγηθε τὸν ὕμνον ψάλλουσα καὶ βοῶσα.

*Ἀλληλούϊα*

Φωτοφόρος ἐπέστη τῶν Ἁγίων ἡ μνήμη, φωτίζουσα πιστῶν τὰς καρδίας· τῶν τελούντων αὐτὴν εὐλαβῶς καὶ τιμώντων πόθῳ ἱεροῖς ᾄσμασιν, ἣν καὶ ἡμεῖς δοξάζοντες κροτήσωμεν ἀναβοῶντες.

www.tezaurliturgic.ro



Χαίρετε τίμιοι μαργαρῖται
Χαίρετε ἄνω Σιὼν πολῖται
Χαίρετε λαμπροὶ Παραδείσου ἀδάμαντες
Χαίρετε σεπτῶν Ἀποστόλων ὁμότιμοι
Χαίρετε καλῶς εὑράμενοι τὴν αἰώνιον ζωὴν
Χαίρετε ὡς κληρωσάμενοι Βασιλείαν οὐρανῶν
Χαίρετε τῶν Ἀγγέλων ἰσοστάσιοι ὄντες
Χαίρετε τὴν Τριάδα σὺν αὐτοῖς ἀνυμνοῦντες
Χαίρετε νῦν Χριστῷ παριστάμενοι
Χαίρετε νῦν αὐτῷ δοξαζόμενοι
Χαίρετε νίκης βραβεῖα λαβόντες
Χαίρετε θείας συμμέτοχοι δόξης.

*Χριστομάρτυρες χαίρετε*

Χάριν πᾶσαν καὶ δόξαν ἐκ Θεοῦ εἰληφότες, αὐτὸν ἐκδυσωπεῖτε ἀπαύστως λυτρωθῆναι ἡμᾶς ὁρατῶν καὶ τῶν ἀοράτων δυσμενῶν Ἅγιοι καὶ σωτηρίας ἐν ταὐτῷ τυχεῖν ψάλλοντες τὸν ὕμνον οὕτως.

*Ἀλληλούϊα*

Ψάλλομεν θεοφρόνως καὶ τιμῶμεν προφρόνως, τὴν μνήμην τῶν Ἁγίων Μαρτύρων, ἱεροῖς ὕμνοις θεοτέρποις καὶ ἐνθέοις πράξεσι φαιδρυνόμενοι γεραίροντες δοξάζοντες καὶ ᾄδοντες ἐν πίστει ταῦτα.

Χαίρετε ἄνθρωποι τοῦ Ὑψίστου
Χαίρετε φίλοι Θεοῦ τοῦ Λόγου
Χαίρετε σεπτὰ οἰκητήρια Πνεύματος
Χαίρετε Ἁγίας Τριάδος σκηνώματα
Χαίρετε καλῶς βαστάσαντες ἐν τῷ σώματι ὑμῶν
Χαίρετε Χριστοῦ τὰ στίγματα οἷα σκεύη ἐκλογῆς
Χαίρετε τὰ Ἐκείνου μιμησάμενοι πάθη
Χαίρετε τὴν Ἐκείνου κληρωσάμενοι δόξαν
Χαίρετε ὅθεν Θεὸν μεγαλύναντες
Χαίρετε τοίνυν τρισόλβιοι Μάρτυρες
Χαίρετε τοίνυν τῷ Σταυρῷ κοσμηθέντες
Χαίρετε τοίνυν ἐκ Θεοῦ δοξασθέντες.

*Χριστομάρτυρες χαίρετε*

Ὦ Τριὰς μακαρία τῶν Ἁγίων Μαρτύρων Μηνᾶ σὺν Βικεντίῳ καὶ Βίκτωρ (γ΄)· δυσωπεῖτε Θεὸν ἐκτενῶς σὺν Πατρὶ τὸν Υἱὸν καὶ Πνεῦμα Ἅγιον, ρυσθῆναι πάντας τοὺς πιστοὺς κολάσεως τοὺς ἐκβοῶντας· Ἀλληλούϊα.

www.tezaurliturgic.ro



*Ἀπολυτίκιον τῶν Ἁγίων Τριῶν Μεγάλων Μαρτύρων Μηνᾶ, Βίκτωρος καὶ Βικεντίου.*

Ἦχος δ'. Ὡς στῦλος ἀκλόνητος.

**Τρισάριθμον φάλαγγα, τῶν Ἀθλοφόρων Χριστοῦ, ὑμνήσωμεν ᾄσμασιν, ἐν φιλεόρτοις πιστοί, Μηνᾶν τὸν ἀοίδιμον, Βίκτωρα τὸν γενναῖον, καὶ Βικέντιον θεῖον, πλάνην τὴν τῶν εἰδώλων, καταργήσαντας πίστει· αὐτῶν ταῖς ἱκεσίαις Χριστὲ ὁ Θεός, σῶσον τὰς ψυχὰς ἡμῶν.**

*Εἶτα Θεοτοκίον καὶ Ἀπόλυσις* (1).

---

1 Οἱ ΚΔ' ὡς ἄνω οἶκοι συνετέθησαν εὐλαβείᾳ καὶ τιμῇ πρὸς τοὺς Ἁγίους ἐν ἔτει σωτηρίῳ 1927 Ὀκτωβρίου 16. Τὸ δὲ Ἀπολυτίκιον ἐκ χειρογράφου ἀντεγράφη.

Ὁ Καθηγούμενος τοῦ Ἱ. Κ. Σίμωνος Πέτρας, ΙΕΡΩΝΥΜΟΣ ἁμαρτωλὸς